δ' ἐπὶ ἀπήνης ἔρχεται· εἵπετο δ' αὐτῷ ἑτέρα ἀπήνη, ἔνθα ἦν τὰ λάφυρα καὶ ἡ Κασάνδρα. αὐτὸς μὲν οὖν προεισέρχεται εἰς τὸν οἶκον σὺν τῇ Κλυταιμνήστρᾳ, Κασάνδρα δὲ προμαντεύεται, πρὶν εἰς τὰ βασίλεια εἰσελθεῖν, τὸν ἑαυτῆς καὶ τοῦ Ἀγαμέμνονος θάνατον καὶ τὴν ἐξ Ὀρέστου μητροκτονίαν, καὶ εἰσπηδᾷ ὡς θανουμένη, ῥίψασα τὰ στέμματα. τοῦτο δὲ τὸ μέρος τοῦ δράματος θαυμάζεται ὡς καὶ ἔκπληξιν ἔχον καὶ οἶκτον ἱκανόν. ἰδίως[7] δὲ Αἰσχύλος τὸν Ἀγαμέμνονα ἐπὶ[8] σκηνῆς[9] ἀναιρεῖσθαι ποιεῖ, τὸν δὲ Κασάνδρας σιωπήσας θάνατον νεκρὰν αὐτὴν ὑπέδειξε,[10] πεποίηκέ τε Αἴγισθον καὶ Κλυταιμνήστραν ἑκάτερον δισχυριζόμενον περὶ τῆς ἀναιρέσεως ἑνὶ κεφαλαίῳ,[11] τὴν μὲν τῇ ἀναιρέσει Ἰφιγενείας, τὸν δὲ ταῖς τοῦ πατρὸς Θυέστου[12] ἐξ Ἀτρέως συμφοραῖς.

Ἐδιδάχθη τὸ δρᾶμα ἐπὶ ἄρχοντος Φιλοκλέους ὀλυμπιάδι ὀγδοηκοστῇ[13] ἔτει δευτέρῳ. πρῶτος Αἰσχύλος Ἀγαμέμνονι, Χοηφόροις, Εὐμενίσι, Πρωτεῖ σατυρικῷ. ἐχορήγει Ξενοκλῆς Ἀφιδνεύς.

Προλογίζει δὲ ὁ φύλαξ, θεράπων Ἀγαμέμνονος.[14]

7) *ἰδίως*] Peculiariter. "Hoc ipsum erat peculiare in hac re quod Aeschylus gemitum moribundi exhibuit. Si legeretur *ὑπό*, ineptum esset *ἰδίως*." (Klausen). 8) *ἐπὶ* mss. *ὑπὸ* conj. Stanl., quo non opus. 9) *σκηνῆς*. Leg. *τῆς σκηνῆς*. Pollux IV. 19. *ἐπὶ δὲ τῆς σκηνῆς καὶ ἀγυιεὺς ἔκειτο βωμὸς πρὸ τῶν θυρῶν*. 10) *ἀπέδειξε* Fl. 11) *ἑνὶ κεφαλαίῳ*] I. e. uno argumento. (Enger) 12) *Θυέστου* V. *Ὀρέστου* M. *Αἰγίσθου* Fl. 13) *εἰκοστῇ ὀγδόῃ* mss. *κ̄η* M. Correxit Meursius. 14) Haec desunt in M., sed post nomen fabulae haec sunt in M., *θεράπων Ἀγαμέμνονος ὁ προλογιζόμενος, οὐχὶ ὁ ὑπὸ Αἰγίσθου ταχθείς* (Hom. Od. δ'. 524.).

Notandum est nullam Mycenarum, proprii Agamemnonis regni sedis, mentionem fieri in hac fabula, ideo, ni fallor, quod de Menelao praecipue infidaque ejus uxore Helena classisque ab Argo, communi, ut videtur, Agamemnonis et Menelai (619) regni sede, ad Trojam profectione et inde reditu agitur. Agamemnon Argi et Mycenarum, Menelaus Spartae rex fuisse traditur.